334 · cyp.

1

Τοῦ μακαρίου ἰωάννου τοῦ δαμασκηνοῦ· ἔκδοσις
ἀκριβὴς τῆς ὀρθοδόξου πίστεως· ὅτι ἀκατάλη-
πτον τὸ θεῖον· καὶ ὅτι οὐ δεῖ ζητεῖν καὶ περιεργά-
ζεσθαι τὰ μὴ παραδεδομένα ἡμῖν ὑπὸ τῶν ἁγίων
προφητῶν καὶ ἀποστόλων· καὶ εὐαγγελιστῶν

Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱός, ὁ ὢν ἐν τοῖς
κόλποις τοῦ πατρός, αὐτὸς ἐξηγήσατο· ἄρρητον οὖν τὸ θεῖον
καὶ ἀκατάληπτον· οὐδεὶς γὰρ ἐπιγινώσκει τὸν πατέρα, εἰ μὴ
ὁ υἱός· οὐδὲ τὸν υἱόν τις ἐπιγινώσκει, εἰ μὴ ὁ πατήρ· καὶ τὸ
πνεῦμα δὲ τὸ ἅγιον οὕτως οἶδε τὰ τοῦ θεοῦ, ὡς τὸ πνεῦμα τοῦ ἀνθρώπου οἶ-
δε τὰ ἐν αὐτῷ· μετὰ δὲ τὴν πρώτην καὶ μακαρίαν φύσιν, οὐδεὶς
ἔγνω ποτὲ θεόν, εἰ μὴ ᾧ αὐτὸς ἀπεκάλυψεν· οὐ τῶν ἀνθρώπων μόνον,
ἀλλ' οὐδὲ τῶν ὑπερκοσμίων δυνάμεων· καὶ αὐτῶν φημὶ τῶν χε-
ρουβὶμ καὶ σεραφίμ· οὐκ ἀφῆκε μέντοι ἡμᾶς ὁ θεὸς ἐν παντε-
λεῖ ἀγνωσίᾳ· πᾶσι γὰρ ἡ γνῶσις τοῦ εἶναι θεὸν ὑπ' αὐτοῦ φυσικῶς
ἐγκατέσπαρται· καὶ αὐτὴ γὰρ ἡ κτίσις· καὶ ἡ ταύτης συνοχή τε καὶ
κυβέρνησις, τὸ μεγαλεῖον τῆς θείας ἀνακηρύττει φύσεως· καὶ διὰ

B. Joh. Damasceni expositio de orthodoxa fide.

334. Pal.

Folia quae desunt, suo quaeque loco notata sunt

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
The Polonsky Foundation
© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_334/0007